# LE FAVOLE DI ESOPO



# Esopo, *Favole*, CCLXXVIII
# È molto difficile estirpare un vizio

ΓΥΝΗ ΚΑΙ ΑΝΗΡ ΜΕΘΥΣΟΣ

Γυνή τις ἄνδρα μέθυσον εἶχε· τοῦ δὲ πάθους αὐτὸν ἀπαλλάξαι θέλουσα τοιόνδε τι σοφίζεται. Κεκαρωμένον γὰρ αὐτὸν ὑπὸ τῆς μέθης παρατηρήσασα καὶ νεκροῦ δίκην ἀναισθητοῦντα ἐπ' ὤμων ἄρασα ἐπὶ τὸ πολυάνδριον ἀπενεγκοῦσα κατέθετο καὶ ἀπῆλθεν. Ἡνίκα δ' αὐτὸν ἤδη ἀνανήφειν ἐστοχάσατο, προσελθοῦσα τὴν θύραν ἔκοπτε τοῦ πολυανδρίου.
Ἐκείνου δὲ φήσαντος· "Τίς ὁ τὴν θύραν κόψας;" ἡ γυνὴ ἀπεκρίνατο· "Ὁ τοῖς νεκροῖς τὰ σιτία κομίζων ἐγὼ πάρειμι." Κἀκεῖνος· "Μή μοι φαγεῖν ἀλλὰ πιεῖν, ὦ βέλτιστε, μᾶλλον προσένεγκε. Λυπεῖς γάρ με βρώσεως ἀλλὰ μὴ πόσεως μνημονεύων." Ἡ δὲ τὸ στῆθος πατάξασα "Οἴμοι τῇ δυστήνῳ," φησίν, "οὐδὲν γὰρ οὐδὲ σοφισαμένη ὤνησα. Σὺ γάρ, ἄνερ, οὐ μόνον οὐκ ἐπαιδεύθης, ἀλλὰ καὶ χείρων σαυτοῦ γέγονας εἰς ἕξιν σοι καταστάντος τοῦ πάθους".
Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ ταῖς κακαῖς πράξεσιν ἐγχρονίζειν· ἔστι γάρ, ὅτε καὶ μὴ θέλοντι τῷ ἀνθρώπῳ τὸ ἔθος ἐπιτίθεται.